ξεις ἀδαμαντίνοις δεσμοῖς θηρασθείσας, εἰ δὲ κατὰ δόξαν, ἔχεις ἐνδόξων προσώπων μαρτυρίας, εἰ δὲ κατὰ φαντασίαν, ἔχεις μύθους ἐγείροντας ταύτην, ὥστε ἐκ πάντων ἔχεις τὸ συμφέρον. ταῦτα καὶ περὶ τοῦ δευτέρου προβλήματος.

7 λοιπὸν δεῖ ζητῆσαι τίς ὁ σκοπὸς τοῦ μύθου τούτου. κατ' ἀρχάς, εἰ μέμνησθε, ἐζητοῦμεν τὸ ποιητικὸν αἴτιον τῆς πολιτικῆς ἐπιστήμης καὶ ἔφαμεν, ὅτι οὐκ ἔστιν ἡ ῥητορικὴ οὔτε ἡ διδασκαλικὴ οὔτε ἡ δημαγωγικὴ ἀλλὰ ἣν εὐδαιμονία, καὶ ἀπεδείξαμεν τοῦτο· πάλιν ἐν τοῖς πρὸς Καλλικλέα λόγοις ἀπεδείχθη τὸ τελικὸν αὐτῆς αἴτιον, ὅτι οὐ τὸ ἡδὺ ἀλλὰ τὸ ἀγαθόν· νῦν τοίνυν διὰ τοῦ μύθου τούτου τὸ παραδειγματικὸν αἴτιον λέγει, καὶ ἤδη μὲν καὶ τοῦτο ἀποδέδεικται, ἔνθα ἤγαγεν τὸ πᾶν τοῦτο καὶ εἶπεν, ὅτι κόσμος ἐστὶν οὐκ ἀκοσμία, καὶ δεῖ πρὸς τοῦτο ὁρᾶν· καὶ νῦν δὲ λέγει τὸ παραδειγματικόν· φησὶν οὖν, ὅτι εἰσὶν καθολικοὶ ἄρχοντες, οἵ τινες δικάζουσι μετὰ τὴν ἔξοδον τοῦ σώματος τούτου καὶ ἀπονέμουσι τὰ πρὸς ἀξίαν ἑκάστῳ. ἐπεὶ οὖν ὁ Καλλικλῆς ἔλεγεν, ὅτι μεγάλη ἐστὶν ἡ ῥητορική, ῥύεται γὰρ ἀπὸ δικαστηρίων τοὺς ἀνθρώπους, φησὶν ὁ Σωκράτης· ὅτι μὴ ἀπόβλεπε πρὸς τούτους τοὺς μερικοὺς δικαστὰς ἀλλὰ πρὸς τοὺς καθόλου· ἐπὶ ἐκείνων γὰρ ὁ εὖ βεβιωκὼς λήψεται τὴν ψῆφον, καὶ οὐδενὸς ἀξία ἐστὶν ἡ ῥητορική, ἀδωροδόκητοι γὰρ οἱ δικασταί. εἰ τοίνυν ἀποβλέψῃς πρὸς ἐκείνους, τό τε εὑρήσεις καὶ τὸ θέσει νόμιμον συντρέχον τῇ φύσει, καὶ οὐκ εἴποις, ὅτι οὐκ εἰσὶν φύσει οἱ νόμοι ἀλλὰ θέσει. διὰ τοῦτο τοίνυν ἐνταῦθα παραλαμβάνεται ὁ μῦθος. τί δὲ περιέχει ἐν τῇ κατὰ μέρος ἐξηγήσει λέξομεν.

8 τέως δὲ πρὸς τούτοις πᾶσι ζητήσωμεν καὶ τοῦτο· ἆρα νεκυϊά ἐστιν ὁ μῦθος οὗτος ἢ μόνον μυθοποιία; ἵνα δὲ γνῶμεν, τί ἐστι τὸ λεγόμενον, εἴπωμεν οὕτως· πολλαχοῦ ὁ Πλάτων φαίνεται μύθους ἐκτιθέμενος· εἶπε γὰρ μῦθον καὶ ἐν τῷ Πολιτικῷ λέγων· ὅτι πάλαι ἐν τῷ χρυσῷ γένει οὐκ ἦν

32 Plat. Pol. 272 c

5 mg. γ′

25 ἀλλὰ] seqq. ÷ ÷ in ras.